| | |
|---|---|
| *υἱὸς Καλλιόπα⟨ς ⏑ –* | glyc. |
| *– ⏓⟩ Πιεριάθεν·* | pherecr. |
| *Τέρπανδρος δ' ἐπὶ τῶι δέκα* | glyc. |
| *ζεῦξε μοῦσαν ἐν ὠιδαῖς·* | pherecr. |
| *Λέσβος δ' Αἰολία ν⟨ιν⟩ Ἀν-* | glyc. |
| *τίσσαι γείνατο κλεινόν·* | pherecr. |
| *νῦν δὲ Τιμόθεος μέτροις* | glyc. |
| *ῥυθμοῖς τ' ἑνδεκακρουμάτοις* | ” |
| *κίθαριν ἐξανατέλλει,* | pherecr. |
| *θησαυρὸν πολύυμνον οἴ-* | glyc. |
| *ξας Μουσᾶν θαλαμευτόν·* | pherecr. |
| *Μίλητος δὲ πόλις νιν ἁ* | glyc. |

col. vi

| | |
|---|---|
| *θρέψασ' ἁ \| δυωδεκατειχέος* | ? |
| *λαοῦ πρωτέος ἐξ Ἀχαιῶν.* | hippon. |
| *ἀλλ' ἑκαταβόλε Πύθι' ἁγνὰν* | ” |
| *ἔλθοις τάνδε πόλιν σὺν ὄλβωι,* | ” |
| *πέμπων ἀπήμονι λαῶι* | – –⏑–⏑⏑– – |
| *τῶιδ' εἰρήναν θάλλουσαν εὐνομίαι.* | 2 sp., – –⏑–⏑⏑– |